# Συναξάριον.

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός, ἡ κατάθεσις τῶν λειψάνων ἐκ τοῦ βραχίονος τοῦ Ἱερομάρτυρος Ἰωσαφάτ, ἐν τῷ ναῷ τῆς Κρυπτοφέῤῥης.

Ἰωσαφὰτ ὁ μέγας Ἱερομάρτυς, παρὰ τῶν σχισματικῶν ἀνηρέθη ἐν Βιτέπσκῳ τῇ πόλει τῶν Ῥωσσίων, ἀρχιεροῦντος ἐν Ῥώμῃ Οὐρβανοῦ ὀγδόου. Τὸ δὲ σῶμα αὐτοῦ θαυμαστῶς εὑρεθὲν ἐν βυθῷ τοῦ Δοῦνα ποταμοῦ καὶ πολλὰ ποιοῦν τέρατα καὶ ἄφθορον διατηρηθέν, εἰς διαφόρους μετεφέρετο τόπους καὶ μετὰ μεγάλης προσεκύνετο τῶν πιστῶν εὐσεβείας. Ἐν δὲ ταῖς ἡμέραις ταύταις, παρὰ τῶν σχισμαστικῶν ἁρπαγὲν κέκρυπται, ἀλλ᾽ ὁ Θεὸς ο δοξάζων τοὺς Ἁγίους Αὐτοῦ οἰκονόμησεν τὸν τοῦ Ἱερομάρτυρος βραχίονα προσενεχθῆναι πρὸς Πίον ἔννατον Πάπαν Ῥώμης. Οὗτος μεγίστην ἄγων πανήγυριν τοῦ κορυφαίου τῶν Ἀποστόλων ἐν ὀκτωκαιδεκαταίῳ ἑκατονταέτει ἀπὸ τοῦ μαρτυρίου αὐτοῦ, μεγαλοπρεπῶς ἐχρημάτισεν τὸν Ἰωσαφάτ, ἐν τοῖς μεγίστοις τῆς Ἐκκλησίας ἀθληταῖς τιμητέον. Τότε αὐτὸς ὁ ἀρχιερεὺς πολύτιμον ἔδωκε δῶρον ἐκ τοῦ ὀστέου καὶ σαρκὸς τοῦ Ἱερομάρτυρος τοῖς μοναχοῖς τῆς Κρυπτοφέῤῥης, ὥσπερ τοῖς ἐκ τῆς αὐτῆς

μοναχικῆς τάξεως τοῦ Ἰωσαφάτ. Ἐν τῷ αὐτῷ ἔτει πάνδημον καὶ περιφανῆ ἑορτάζοντες τριήμερον σύναξιν είς τιμὴν τοῦ Ἱερομάρτυρος, τὰ λείψανα αὐτοῦ σέβεσθαι ἐν τῷ ναῷ αὐτῶν ἀνέθηκαν.